Early Journal Content on JSTOR, Free to Anyone in the World

This article is one of nearly 500,000 scholarly works digitized and made freely available to everyone in the world by JSTOR.

Known as the Early Journal Content, this set of works include research articles, news, letters, and other writings published in more than 200 of the oldest leading academic journals. The works date from the mid-seventeenth to the early twentieth centuries.

We encourage people to read and share the Early Journal Content openly and to tell others that this resource exists. People may post this content online or redistribute in any way for non-commercial purposes.

Read more about Early Journal Content at http://about.jstor.org/participate-jstor/individuals/early-journal-content.

JSTOR is a digital library of academic journals, books, and primary source objects. JSTOR helps people discover, use, and build upon a wide range of content through a powerful research and teaching platform, and preserves this content for future generations. JSTOR is part of ITHAKA, a not-for-profit organization that also includes Ithaka S+R and Portico. For more information about JSTOR, please contact support@jstor.org.

Handſchriftliches.

Proben Homeriſcher Scholien aus Cod. Ven. B. in ihrer wahren Geſtalt.

Il. *B*. 305.

Ἡμεῖς δ' αμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμούς] ***μέχρι τοῦ, τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν. περὶ τούτων τῶν ἐπῶν ἠπόρηται ὁ Ἀριστοτέλης τοιαῦτα· διὰ τί ὁ Κάλχας, εἰ μὲν οἰδὲν ἦν τέρας τὸ γενόμενον, ἐξηγεῖται ὡς τέρας· τί γὰρ ἄτοπον ὑπὸ ὄρεως στρουθοὺς κατέδεσθαι, ἢ τούτους ὀκτὼ εἶναι; περὶ δὲ τοῦ λίθον γενέσθαι οὐδὲν λέγει, ὃ ἦν μέγα· εἰ μὴ ἄρα εἰς τὸν ἀπόπλουν ἐσήμαινεν, ὥς τινές φασιν. Καὶ εἰ μή τις** (Vill. *μάρτυς* Cod. *μ*$\bar{\text{τ}}$) *ἔλεγε, καὶ τότε ἀξίως ἔλεξε* (Vill. *ἔλεγε*) *τοῦτο. ὅτι οὐδὲ ἀπέδωκεν, ἂν εἴη τὸ τέρας. ἐνάτη γὰρ ἦν ἡ μήτηρ, δεκάτῳ δὲ τὸ Ἴλιον ἥλω. φησὶν οὖν μὴ εἰς τὸν νόστον εἰρῆσθαι τὰ περὶ τῆς ἀπολιθώσεως τοῦ δράκοντος, διὸ οὐδ' ἐποίησε λέγοντα· οὔτε γὰρ πάντες ἐγένοντο ἄνοστοι, γελοῖός τ' ἂν ἦν* (Vill. *δ' ἂν ἦν*) *οὐκ ἀποτρέπων τοῦ πλοῦ, ἀλλὰ πλεῖν προστρεπόμενος, ὡς ἐδήλου τὰ σημεῖα μὴ ἐπανήξειν· μή ποι' οὖν φησὶ τὸ σημεῖον, τὸ λίθον γενέσθαι, βραδυτῆτος* (Vill. *βραδὺ τοῦτο* Bekk. *βραδυτῆτος*) *σημεῖον ἦν, ὅπερ ἤδη καὶ ἐγεγόνει, καὶ οὐκέτ' ἦν φοβερόν. ἐλήφθη δὲ ἐν* (Vill. *οὖν*) *ἔτεσιν ἐννέα· τοῦ δεκάτου γὰρ ἔτους ἀρχομένου ἐγένετο, ἀριθμεῖ δὲ τὰ ὁλόκληρα ἔτη, ὥστε συνᾴδει ὀρθῶς ὁ ἀριθμὸς τῶν ἀπολωλότων καὶ τῶν ἐτῶν. οἱ δὲ τὰ περὶ οἰωνιστικῆς τῆς καθ' Ὅμηρον γράψαντες τὴν μὲν νεοττιάν, ὡς ἂν ἐπ' ἄκρων* (Vill. *ἄκρας*) *τῆς πλατάνου κειμένην τῶν κλάδων* (Vill. *τοῦ κλάδου*), *οὖσαν ἐνάερον* (Vill. *ἐννάετον* Bekk. *ἐνναέτιν*) *εἰλῆφθαί φασι πρὸς τὴν ἀνεμόεσσαν πόλιν. τοὺς δ'* (Vill. *τ'*) *ἐνοικοῦντας ἐν αὐτῇ στρουθοὺς στρατὸν εἶναι ἀλλοεθνῆ. πολλοὶ γὰρ ἐπίκουροι πολλέων ἐκ πολίων κατῴκουν τὴν πόλιν. πτηνοὶ γὰρ ἀέρι***

μᾶλλον ἢ χώρᾳ οἰκειότεροι. τὸ δὲ ξύλον τῆς πλατάνου νεαροῦ ξύλου καὶ ὑδρηλοῦ, δι' οὗ ὁ δράκων ἐπίγειον (Vill. ἐπίγειος Bekk. ἐπίγειος ὤν) ἀνύει πορείαν ἐπὶ τοὺς στρουθούς. ἐδήλου οὖν ὅτι (Vill. et Bekk. διότι) πολὺς στρατὸς πορείαν ποιησάμενος διαπόντιον, νήϊτης (Vill. et Bekk. νησί) περάσας, διὰ τῆς χώρας ἐπιπεσεῖσθαι τοῖς Τρωσὶν ἔμελλεν . . . . . καὶ λαγνείας εἵνεκα (Vill. ἕνεκα) τὸν πόλεμον ἐνστησάμενοι (Vill. ἐνιστησ. Bekk. ἐνστησ.) ὥσπερ τῆς Ἀθηνᾶς ἱερός ὁ δράκων.

(Es folgt hierauf in dem Cod. B. noch ein sehr großes, später hinzugefügtes Stück, zum Theil Wiederholung des in dem Vorstehenden schon Gesagten, zum Theil das enthaltend, was in dem Scholion zu V. 308 ὁ δράκων Ἀθηνᾶς ἱερόν κτὲ und bei Wassenbergh p. 267. in dem Scholion zu V. 311 steht.)

II. Γ. 65.

Οὗτοι] τὸ „οὗτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα (Vill. ἐρικερδέα) δῶρα, ὅσσα κεν αὐτοὶ δῶσιν, ἑκὼν δ' οὐκ ἄν τις ἕλοιτο" ἐναντιολογίαν δοκεῖ περιέχειν. τὰ γὰρ μὴ ἀπόβλητα δῶρα, καὶ μάλα παρὰ θεοῦ δωρούμενα καὶ ἐρικερδέα, πῶς οὐκ ἄν τις ἕλοιτο; λύσις· (Vill. λύεται) πῶς οὐκ ἄν τις ἕλοιτο (diese 4 Worte fehlen bei Vill.) μαχομέναις ταῖς (fehlt bei Vill.) κατὰ τὸ κοινὸν ἐννοίαις· ἡ δὲ λύσις· θεῶν δῶρα οὐ μόνον ἃ διδόασιν ἀγαθὰ, ἀλλὰ καὶ ἃ παρέχουσι κακά. „δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει, δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἑάων." ὥστε δῶρα καὶ κακὰ, ἅπερ οὐκ ἄν τις ἑκὼν ἕλοιτο. δοθέντα δὲ στέργειν αὐτὰ ὀφείλει (Vill. ὀφέλλει). ἢ ἁπλῶς τὰ δῶρα, ὁπωσοῦν ἄν ᾖ παρὰ θεῶν (Vill. θεοῦ), φησὶν, οὐδὲ ἀπόβλητά ἐστι, διὰ τὸ μὴ (Vill. καὶ) ὑπὸ τὴν ὑμετέραν κεῖσθαι ἐξουσίαν (Vill. ἐξ. κεῖσθ.). τὸ οὖν μὴ εἶναι ἀπόβλητα, μήτε ὑπ' ἐχόντων (Vill. ὑφ' ἑκόντων) ληπτέα, εἴρηται, οὐχ ὅτι ἐν τῇ ἡμετέρᾳ ἐξουσίᾳ κεῖται εἰς τὸ ἀποβαλεῖν ἢ λαβεῖν. ἀναιρεῖ δὲ καὶ (fehlt bei Vill.) ἑκάτερον τὸ ἐφ' ἡμῖν, ὡς μήτε ἑνὸν ἡμῖν αὐτὰ ἀποβαλεῖν ἐθελήσασι, μήτε λαβεῖν προθυμηθεῖσιν, ἄν τε ἀγαθὰ, ἄν τε ἐναντία. καὶ ἔστιν ὁ λόγος· ἃ θεοὶ διδόασι δῶρα, κἂν ἐρικυ-

δέα, κἂν φαῦλα ᾖ (fehlt bei Vill.) οὔτε ἀποβαλεῖν ἐφ' ἡμῖν ἐστιν, οὔτε λαβεῖν ἐφ' ἡμῖν ἂν εἴη. τὸ γὰρ ἑκὼν ἐκ κοινοῦ δεῖ καὶ πρὸς τὸ ἀποβαλεῖν ἀκοῦσαι, καὶ πρὸς τὸ ἑλεῖν. οὐ γὰρ ἑκὼν ἄν τις καὶ θέλων ἀποβάλοι, οὐδ' ἑκὼν ἄν τις καὶ θέλων λάβοι (Vill. οὐ γὰρ ἑκὼν ἄν τις καὶ θέλων λάβοι), ἃ ἐν τῇ τῶν κρειττόνων καὶ ὑπὲρ ἡμᾶς ὄντων ἐξουσίᾳ κεῖται κτέ.

Il. Γ. 276.

Ἀριστοτέλους (Vill. Πορφυρίου) . . . . . Ζεῦ κύδιστε μέγιστε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι, ὁππότεροι πρότεροι ὑπερόρκια (Vill. ὑπὲρ ὅρκια) πημήνειαν, ᾧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι, ὡς ὅδε (Vill. ὅδ') οἶνος. οὐκ ἐπιώρκησαν μὲν οὖν. ἐκακούργησαν δὲ καὶ ἔβλαψαν τοὺς ὅρκους. ἐπάρατοι οὖν ἦσαν. ταῦτά τοι καὶ Ἥρα πειρᾶται ἐξ αὐτῶν, ὧν κατηράσαντο (Vill. κατηρήσ.), γενέσθαι αὐτοῖς τὴν βλάβην. εὐξαμένων γὰρ ἐκείνων ὁππότεροι πρότεροι κτέ, ἡ Ἥρα αὐτὸ τοῦτο παρακελεύεται τῇ Ἀθηνᾷ, ἐλθεῖν ἐς Ἰρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν, πειρᾷν δ' ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς ἄρξαντες πρότεροι ὑπερόρκια δηλήσασθαι (Vill. πειρᾶν δ' ὡς κέντροισιν ὑπερκύδ. Ἀχ., ἄρξαντας προτέρους ὑπὲρ ὅρκια δηλ. Ebenso Bekk.; im Cod. steht: ὥς κεν τρῶ und später ἄρξ[illegible] πρότεροι). τὸ δὲ βλάψαι οὐκ ἔστιν ἐπιορκῆσαι.

Il. Γ. 379.

Αὐτὰρ ὁ ἄψ ἐπόρουσε κατακτάμεναι μενεαίνων ἔγχεϊ χαλκείῳ] Ἀδύνατον (Vill. Διδύμου; ebenso Bekk.; Cod. aΔ[illegible]) φασὶν εἶναι κατὰ τὸ ἐγχείρημα· ἐρρίφη γὰρ φησὶν ἤδη (Vill. ἤδη φησὶν) το ἔγχος. ἠΐχθη παλάμῃφιν ἐτώσιον. λύεται δὲ ἀπὸ τοῦ ἔθους (Vill. ἔτους)· δύο γὰρ δόρατα φέρειν νενομισμένον ἦν ὡς πολλαχοῦ λέγει· πάλλων δ' ὀξέα (Vill. δύο) δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ· ἢ ἀπὸ τοῦ καιροῦ. οὐ γὰρ ἔτυχε τότε ἀπολλόμενον (Vill. ἀπολλύμ.) τὸ ἔγχος, ἀλλ' ἐπὶ τῷ Ἀλεξάνδρῳ ὑπάρχον, οὗ κατεκρατεύθη.

Il. E. 20.

Ἰδαῖος δ' ἀπόρουσε] κατηγόρει καὶ τούτου Ζωΐλος (Vill. τοῦ τοιούτου τόπου ὁ Ζ.), ὅτι λίαν, φησί, γελοίως πεποίηκεν (Vill. setzt hinzu: ὁ ποιητὴς) τὸν Ἰδαῖον ἀπολιπόντα τοὺς ἵππους

καὶ τὸ ἅρμα φεύγειν. (Vill. ſetzt hinzu: ἠδύνατο γὰρ μᾶλλον ἐπὶ τοῖς ἵπποις ἀλλὰ) ῥητέον οὖν (fehlt bei Vill.), ὅτι κατέθορε μὲν τοῦ ἅρματος, ὡς ὑπερασπίσων τῷ ἀδελφῷ (Vill. τὸν αδελφὸν). εὐλαβηθεὶς δὲ τὸν πολέμιον, εἰς φυγὴν ὥρμησεν (Vill. ἐτράπη). οἱ δὲ λέγουσιν, ὅτι εἰδὼς τὸ Διομήδους φίλιππον διὰ τοῦτο ἐᾷ τοὺς ἵππους, ὅπως περὶ αὐτοὺς γένηται. ἢ ὅτι οὐκ ἐπέσπεισε (Vill. ἔπεισε Bekk. ἐπέστησε) τῷ συμφέροντι. αἱ γὰρ φρένες ταραχθεῖσαι, παρέπλαγξαν καὶ τὸν σοφόν. τοιοῦτος εὑρίσκεται παρ' αὐτῷ καὶ ὁ Ἀλέξανδρος, ἀγόμενος (Vill. ἑλκόμενος) ὑπὸ τοῦ ἐχθροῦ, καὶ ἀγχόμενος ὑπὸ τῆς κόρυθος (Vill. ſetzt hinzu: καὶ τῆς παροῦσης συμφορᾶς) καὶ ἀγνοῶν χρήσασθαι τῷ (Vill. ſetzt hinzu: παρόντι) ξίφει κατὰ τοῦ πολεμίου.

Il. Z. 311.

διὰ τί' ὠνομάσθη ἡ Ἀθηνᾶ Πάλλας | . . . . . οἱ δὲ ποιητικῶς γράψαντες ἐκ τοῦ ἀέρος (Vill. ἐκ τοῦ Ἄζου, ebenſo Bekk.; im Cod. ſteht ἀϗα) εἶπον τὸ Παλλάδιον τοῦτο κατενεχθῆναι τῷ Τρωΐ, βασιλεύοντι Φρυγῶν: τοῦτο Διομήδης καὶ Ὀδυσσεύς (Vill. ὁ Ὀδ.) . . . . . πολλῶν (Vill. πολλῆς) τοίνυν μεταξὺ κινηθέντων (Vill. κινηθείσης) καὶ γενομένης ὀψίας . . . . . ὑπενόουν δὲ δόλῳ φονεῦσαι αὐτὸν τὸν Ὀδυσσέα καὶ φιλονεικήσαντες (Vill. φιλονικ.) πρὸς ἀλλήλους ἀπέπλευσαν. ὅπερ Παλλάδιον ἀνέθεντο τῇ Ἀθηνᾷ. ἕτεροι δὲ φασιν, ὡς Παλλαδίων χρυσουμένων ἐν ταῖς πρῴραις τῶν τριηρέων, οἱ Ἀθηναῖοι (Vill. et Bekk. Ἀξιαῖοι. Cod. ϗναῖοι) ἀγάλματά τινα ξύλινα τῇ Ἀθηνᾷ καθίδρυον, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν.

Leyden. E. Mehler.

Zur Kritik und Erklärung.

Heſiod.

Wenn man auch über die urſprüngliche Geſtalt der heſiodiſchen Theogonie am allerwenigſten in römiſcher βιβλίων ἐρημίᾳ